25 σονται ἐνεργεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· [25]καὶ ἀπὸ πεντηκον-
ταετοῦς ἀποστήσεται ἀπὸ τῆς λειτουργίας καὶ οὐκ ἐργᾶται ἔτι,
26 [26]καὶ λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου
φυλάσσειν φυλακάς, ἔργα δὲ οὐκ ἐργᾶται. οὕτως ποιήσεις τοῖς
Λευίταις ἐν ταῖς φυλακαῖς αὐτῶν.

9 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ Σινα ἐν τῷ
ἔτει τῷ δευτέρῳ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου ἐν τῷ μηνὶ
2 τῷ πρώτῳ λέγων [2]Εἰπὸν καὶ ποιείτωσαν οἱ υἱοὶ Ισραηλ τὸ πα-
3 σχα καθ᾽ ὥραν αὐτοῦ· [3]τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς
τοῦ πρώτου πρὸς ἑσπέραν ποιήσεις αὐτὸ κατὰ καιρούς· κατὰ τὸν
4 νόμον αὐτοῦ καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσεις αὐτό. [4]καὶ
5 ἐλάλησεν Μωυσῆς τοῖς υἱοῖς Ισραηλ ποιῆσαι τὸ πασχα. [5]ἐναρχο-
μένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἐν τῇ ἐρήμῳ τοῦ
Σινα, καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ
Ισραηλ.

6 [6]Καὶ παρεγένοντο οἱ ἄνδρες, οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀν-
θρώπου καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ πασχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
καὶ προσῆλθον ἐναντίον Μωυσῆ καὶ Ααρων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,
7 [7]καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτόν Ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ
ἀνθρώπου· μὴ οὖν ὑστερήσωμεν προσενέγκαι τὸ δῶρον κυρίῳ
8 κατὰ καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ισραηλ; [8]καὶ εἶπεν πρὸς αὐτοὺς
Μωυσῆς Στῆτε αὐτοῦ, καὶ ἀκούσομαι, τί ἐντελεῖται κύριος περὶ
9 10 ὑμῶν. — [9]καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [10]Λάλησον
τοῖς υἱοῖς Ισραηλ λέγων Ἄνθρωπος ἄνθρωπος, ὃς ἐὰν γένηται
ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου ἢ ἐν ὁδῷ μακρὰν ὑμῖν ἢ ἐν ταῖς
11 γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ πασχα κυρίῳ· [11]ἐν τῷ μηνὶ τῷ δευ-
τέρῳ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τὸ πρὸς ἑσπέραν ποιήσου-
12 σιν αὐτό, ἐπ᾽ ἀζύμων καὶ πικρίδων φάγονται αὐτό, [12]οὐ καταλεί-
ψουσιν ἀπ᾽ αὐτοῦ εἰς τὸ πρωὶ καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ᾽
13 αὐτοῦ· κατὰ τὸν νόμον τοῦ πασχα ποιήσουσιν αὐτό. [13]καὶ ἄνθρω-
πος, ὃς ἐὰν καθαρὸς ᾖ καὶ ἐν ὁδῷ μακρᾷ οὐκ ἔστιν καὶ ὑστερήσῃ
ποιῆσαι τὸ πασχα, ἐξολεθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ
αὐτῆς· ὅτι τὸ δῶρον κυρίῳ οὐ προσήνεγκεν κατὰ τὸν καιρὸν αὐ-
14 τοῦ, ἁμαρτίαν αὐτοῦ λήμψεται ὁ ἄνθρωπος ἐκεῖνος. — [14]ἐὰν δὲ
προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ γῇ ὑμῶν καὶ ποιήσει τὸ
πασχα κυρίῳ, κατὰ τὸν νόμον τοῦ πασχα καὶ κατὰ τὴν σύνταξιν

24 ενεργειν] λειτουργειν λειτουργειαν εν εργοις A || 25 απο 2⁰ > B*† | εργαζεται B†: item B*† in 26

9 3 ποιησεις 1⁰ (non 2⁰)] -σετε A | καιρους] καιρον αυτου A || 5 του 2⁰ > A || 7 αυτον] -τους A | προσενεγκαι] pr. ωστε A || 8 προς αυτους / μωυσης] tr. B* || 10 υμιν] pr. η εν A | κυριω] pr. τω A || 11 το > A || 12 συντριψεται A† || 13 μακραν A | ποιησαι] pr. του A† | κυριου A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/282 UNIVERSITÄT LEIPZIG